# ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

ΠΙΣΤΕΥΩ εἰς ἕνα Θεόν, Πατέρα Παντοκράτορα, ποιητήν οὐρανοῦ καί Γῆς, ὁρατῶν τε πάντων καί ἀοράτων.

Καί εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τόν Υἱόν τοῦ Θεοῦ τόν μονογενῆ, τόν ἐκ τοῦ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτός, Θεόν ἀληθινόν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τά πάντα ἐγένετο.

Τόν δι' ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καί σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς Παρθένου καί ἐνανθρωπήσαντα·

Σταυρωθέντα τε ὑπέρ ἡμῶν ἐπί Ποντίου Πιλάτου καί παθόντα καί ταφέντα·

Καί ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατά τάς Γραφάς·

Καί ἀνελθόντα εἰς τούς οὐρανούς καί καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός·

Καί πάλιν ἐρχόμενον μετά δόξης κρῖναι ζῶντας καί νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καί εἰς τό Πνεῦμα τό Ἅγιον, τό Κύριον, τό ζωοποιόν, τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον, τό σύν Πατρί καί Υἱῷ συμπροσκυνούμενον και συνδοξαζόμενον, τό λαλῆσαν διά τῶν Προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικήν καί ἀποστολικήν Ἐκκλησίαν.

Ὁμολογῶ ἕν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν, καί ζωήν τοῦ μέλλοντος αἰῶνος.

ΑΜΗΝ

# THE CONFESSION OF FAITH

I BELIEVE in one God, Father Almighty, Creator of heaven and earth, and of all things visible and invisible.

And in one Lord Jesus Christ, the only-begotten Son of God, begotten of the Father before all ages; Light of Light, true God of true God, begotten, not created, of one essence with the Father, through Whom all things were made.

Who for us men and for our salvation came down from heaven and was incarnate of the Holy Spirit and the Virgin Mary and became man.

He was crucified for us under Pontius Pilate, and suffered and was buried;

And He rose on the third day, according to the Scriptures.

He ascended into heaven and is seated at the right hand of the Father;

And He will come again with glory to judge the living and the dead; His kingdom shall have no end.

And in the Holy Spirit, the Lord, the Creator of Life, Who proceeds from the Father, Who together with the Father and the Son is worshipped and glorified, Who spoke through the prophets.

In one holy, catholic, and apostolic Church.

I confess one baptism for the forgiveness of sins.

I look for the resurrection of the dead, and the life of the age to come.

AMEN